# SYMEONIS MAGISTRI ET LOGOTHETAE CHRONICON

RECENSUIT
STEPHANUS WAHLGREN

WALTER DE GRUYTER
BEROLINI ET NOVI EBORACI
MMVI

**70** ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς Ῥωμανὸς τῷ τελευταίῳ υἱῷ Κωνσταντίνῳ ἐκ γένους τῶν Ἀρμενιάκων, τοὔνομα Ἑλένην, τοῦ πατρικίου Ἀδριανοῦ θυγατέρα· ἧς καὶ τελευτησάσης Φεβρουαρίῳ μηνί, ἰνδικτιῶνος δευτέρας, ἑτέρᾳ τοῦτον συνέζευξεν γυναικί, ὀνόματι Θεοφανῷ, ἐκ γένους τοῦ Μάμα ἐκείνου καταγομένῃ. **71** Ἰουνίῳ δὲ μηνί, ια' τοῦ μηνός, ιδ' ἰνδικτιῶνος, κατέπλευσαν οἱ Ῥῶς κατὰ Κωνσταντινουπόλεως μετὰ πλοίων χιλιάδων δέκα. ἀπεστάλη δὲ κατ' αὐτῶν μετὰ τριήρων καὶ δρομώνων, ὅσα καὶ ἔτυχον ἐν τῇ πόλει, ὁ πατρίκιος Θεοφάνης, ὁ παραδυναστεύων καὶ πρωτοβεστιάριος, καὶ τόν τε στόλον προευτρεπίσας τε καὶ ἑτοιμασάμενος καὶ νηστείᾳ καὶ δάκρυσιν ἑαυτὸν κατοχυρώσας ὡς μάλιστα τοὺς Ῥῶς προσεδέχετο, καταναυμαχῆσαι μέλλων αὐτούς. **72** ἐπεὶ δὲ ἐκεῖνοι κατέλαβον καὶ πλησίον τοῦ Φάρου ἐγένοντο, οὗτος πρὸς τῷ τοῦ Εὐξείνου πόντου στόματι παρεδρεύων ἐν τῷ Ἱερῷ λεγομένῳ ἀθρόον τούτοις ἐπέθετο. καὶ δὴ πρῶτος τῷ οἰκείῳ δρόμωνι διεκπλεύσας τήν τε σύνταξιν τῶν ῥωσικῶν πλοίων διέλυσε καὶ τῷ ἐσκευασμένῳ πυρὶ πλεῖστα κατέφλεξεν, τὰ λοιπὰ δὲ ἐτρέψατο εἰς φυγήν· ᾧ ἀκολούθως καὶ οἱ λοιποὶ δρόμωνες καὶ αἱ τριήρεις ἐπεκδραμοῦσαι τελείαν εἰργάσαντο τὴν τροπήν, καὶ πολλὰ μὲν πλοῖα κατέδυσαν αὔτανδρα, πολλοὺς δὲ κατέτρωσαν, πλείστους δὲ ζῶντας συνέλαβον. οἱ

---

**537** fort. 14.1.938 (Kresten/Müller 1995, p. 35 et n. 104) (cf. infra) **539–40** fort. mense Feb. a. 944 **541–42** 11.6.941

---

§ 70: cf. ps.-Sym. 746.6–11 § 71: cf. ps.-Sym. 746.12–16 § 72: cf. ps.-Sym. 746.14–747.4

---

TL G[m] H

---

**537** γυναῖκα om. G Ῥωμανὸς om. G **538** Ἀρμενιάκων : ἀρμενιακῶν L m H **539** ἀνδριανοῦ H θυγατέραν H **539–40** Φεβρουαρίῳ μηνί (φευρουαρίου μηνός L) – δευτέρας om. G **539–40** ἰνδικτιῶνος δευτέρας : β ἰν$^{δ}$ T **541** ἐκ – καταγομένῃ (sic m : καταγομένην L H) om. G τοῦ pr. (sic m) : τὸν H : non adhib. G ἐκείνου fort. H : om. m : non adhib. G **541–42** Ἰουνίῳ δὲ μηνί, ια' τοῦ μηνός, ιδ' ἰνδικτιῶνος (sic Tafel) : δεκάτη καὶ τετάρτη ἰνδίκτω· ἰουνίω δὲ μηνὶ ια τοῦ μηνὸς ιδ ἰν$^{δ}$ T : δεκάτη δὲ καὶ τετάρτη ἰνδίκτω ἰουνίῳ δὲ μηνί, ια τοῦ μηνός L : ἰουνίῳ δὲ μηνὶ ια· ιδ ἰνδικτιῶνος G : ἰουνίῳ δὲ μηνὶ ια m : ιδ$^{η}$ δὲ ἰνδικτιῶνος· ἰουννίῳ δὲ μηνὶ ια$^{η}$ H **543** μετὰ πλοίων om. G χιλιάδες ιε L κατ' αὐτῶν om. G **544** ὅσα καὶ ἔτυχον (ὅσα καὶ ἔτυχον (sic m) : ὅσα ἔτυχων H) – πόλει om. G **544–45** πατρίκιος – πρωτοβεστιάριος : πρωτοβεστιάριος θεοφάνης G **545** τε om. H **546** τε om. L (de G H vide infra) **545–46** προευτρεπίσας τε καὶ ἑτοιμασάμενος : προετοιμασάμενος καὶ προευτρεπεισάμενος H **546** τε – ἑαυτὸν (ἑαυτῷ H) : καὶ G **547** ἐξεδέχετο G καταναυμαχῆσαι – αὐτούς om. G **548** δὲ om. G ἐκεῖνοι : κἀκεῖνοι L ἐγένετω H **549** πρὸς – πόντου : πρῶτ° τῶι εὐξείνωι πόντωι G **550** ἀθρόον (ἀθρόων H) – ἐπέθετο (sic m : ἐπείθετω H) om. G **551** διέλυσε (sic m) : ἐξέλυσεν G : om. H **551–52** τὸ ἐσκευασμένον G **553** καὶ alt. – ἐπεκδραμοῦσαι : ἐπεκδραμόντες G **554** μὲν om. H **555** post δὲ alt. add. καὶ L **555–62** οἱ – αὐτούς om. G

περιλειφθέντες οὖν εἰς τὸ τῆς ἀνατολῆς μέρος εἰς τὰ Σγόρα λεγόμενα καταπλέουσιν. **73** ἀπεστάλη δὲ τότε καὶ Βάρδας ὁ Φωκᾶς διὰ γῆς μετὰ ἱππέων ἐκκρίτων παρατρέχειν αὐτούς. καὶ δὴ τούτων σύνταγμα ἱκανὸν ἀποστειλάντων πρὸς τὰ τῆς Βιθυνίας μέρη, ὥστε τὰ πρὸς τροφὴν καὶ τὴν ἄλλην χρείαν αὐτοῖς συμπορίσασθαι, περιτυχὼν τῷ τοιούτῳ συντάγματι ὁ εἰρημένος Βάρδας ὁ Φωκᾶς κακῶς τούτους διέθηκε, τρεψάμενος καὶ κατασφάξας αὐτούς. **74** κατῆλθε δὲ τηνικαῦτα καὶ Ἰωάννης μάγιστρος καὶ δομέστικος τῶν σχολῶν, ὁ Κουρκούας, μετὰ παντὸς τοῦ τῆς ἀνατολῆς στρατεύματος καὶ πολλοὺς τούτων διέφθειρεν, ἀποσπάδας τῇδε κἀκεῖσε καταλαμβάνων, ὥστε συσταλέντας αὐτοὺς δέει τῆς αὐτοῦ ἐπιθέσεως μένειν ἀθρόως ἐπὶ τὸ αὐτὸ παρὰ τὰ οἰκεῖα πλοῖα καὶ μηδαμοῦ διεκτρέχειν κατατολμᾶν. πολλὰ δὲ καὶ μέγιστα κακὰ οὗτοι διεπράξαντο πρὸ τοῦ τὸ ῥωμαϊκὸν στράτευμα κατελθεῖν· τό τε γὰρ Στενὸν λεγόμενον ἅπαν ἐνέπρησαν καὶ οὓς συνελάμβανον αἰχμαλώτους, τοὺς μὲν ἀνεσταύρουν, τοὺς δὲ τῇ γῇ προσεπαττάλευον, τοὺς δὲ ὥσπερ σκοποὺς ἱστάντες βέλεσι κατετόξευον. ὅσους δὲ τοῦ ἱερατικοῦ κλήρου συνελάμβανον, ὄπισθεν τὰς χεῖρας δεσμοῦντες ἥλους σιδηροῦς κατὰ μέσης τῆς κεφαλῆς αὐτῶν κατεπήγνυσαν πολλούς τε ἁγίους ναοὺς τῷ πυρὶ παραδεδώκασιν. **75** χειμῶνος δὲ ἤδη ἐνισταμένου καὶ τροφῶν ἀποροῦντες τό τε ἐπελθὸν στράτευμα δεδιότες τάς τε ναυμάχους πλέον τριήρεις ἐβουλεύσαντο τὰ οἰκεῖα καταλαβεῖν. καὶ δὴ λαθεῖν τὸν στόλον σπουδάζοντες Σεπτεμβρίῳ μηνί, ιε' ἰνδικτιῶνος, νυκτὸς ἀντιπλεῦσαι ὡρμηκότες ἐπὶ τὰ θρᾳκῷα μέρη παρὰ τοῦ ῥηθέντος πατρικίου Θεοφάνους ὑπηντήθησαν· οὐδὲ γὰρ ἔλαθον τὴν αὐτοῦ ἐγρηγορωτάτην καὶ

---

§ 75: mense Sept. a. 943

---

§ 73: cf. ps.-Sym. 747.6–9 § 74: cf. ps.-Sym. 747.9–15 § 75: cf. ps.-Sym. 747.15–23

---

TL G[m] H

---

**556** περιληφθέντες H **556–57** καπλέουσιν L **557** Βάρδας ὁ Φωκᾶς (sic m) : φωκᾶς ὁ βάρδας H **558** post ἐκκρίτων add. τοῦ T L (non add. m) : non adhib. G τούτων : τοῦτον L **559** Βιθυνίας : βυθυνίας T : βυθηνίας H **561** τούτους : αὐτοὺς L **562** καὶ alt. om. H **563** μάγιστρος – σχολῶν : ὁ δομέστικος G **564** post ἀνατολῆς add. συντάγματος καὶ L διέφθειρεν (sic m) : διέφθειραν G : κατέφθειρεν H **565–67** ὥστε – κατατολμᾶν om. G **565** συνσταλλέντας H **566** ἀθρόως (sic m) : ἀθρόους H : non adhib. G αὐτὸ : αὐτῷ T post πλοῖα add. ἐποίησεν L **567** ἐκτρέχειν L δὲ καὶ μέγιστα : γὰρ G **568** πρὸ – κατελθεῖν om. G **569** λεγόμενον ἅπαν (sic m : ἅπαν om. G) : ἅπαν λεγώμενον H **571** σκοποὺς : κοποὺς H **572** ὄπιθεν G **573** αὐτῶν om. H κατεπήγνυσαν : κατεπήγνυον m H **574** παραδεδώκασιν (sic m) : παρὰδέδωκαν T : παρέδωκαν G : παρεδώκασιν H **575–76** τό – τριήρεις om. G **576** τῶι στόλωι G **577** post Σεπτεμβρίῳ add. δὲ H ιε' (ιε^ης H) ἰνδικτιῶνος : ἰνδικτιῶνος ιε G : om. L **578–79** πατρικίου Θεοφάνους : θεοφάνους G : θεοφάνους πατρικίου m **579–80** καὶ γενναίαν om. G

γενναίαν ψυχήν. εὐθὺς οὖν δευτέρα ναυμαχία συνάπτεται, καὶ πλεῖστα πλοῖα ἐβύθισε καὶ πολλοὺς τούτων ἀπέκτεινεν ὁ εἰρημένος ἀνήρ. ὀλίγοι δὲ μετὰ τῶν πλοίων περισωθέντες καὶ ἐν τῇ τῆς Κοίλης παραπεσόντες ἀκτῇ νυκτὸς ἐπελθούσης διέφυγον. Θεοφάνης δὲ ὁ πατρίκιος μετὰ νίκης λαμπρᾶς καὶ μεγίστων ὑποστρέψας τροπαίων ἐντίμως καὶ μεγαλοπρεπῶς ὑπεδέχθη καὶ παρακοιμώμενος ἐτιμήθη. **76** ἐπεὶ δὲ ὁ ῥηθεὶς Ἰωάννης μάγιστρος, ὁ Κουρκούας, ἄριστός τις ἐγένετο τὰ πολεμικὰ καὶ πολλὰ ἀνέστησε τρόπαια καὶ τὰ ῥωμαϊκὰ ἐπλάτυνεν ὅρια πλείστας τε πόλεις ἐπόρθησε τῶν Ἀγαρηνῶν, διὰ τὸ περιφανὲς τῆς τοῦ ἀνδρὸς ἀρετῆς ἠβουλήθη ὁ βασιλεὺς Ῥωμανὸς εἰς τὸν ἑαυτοῦ ἔγγονον Ῥωμανὸν τὸν ἐκ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ τὴν τούτου θυγατέρα ἀναλαβεῖν. φθόνου δὲ αὐτῷ τῆς τοιαύτης ἕνεκεν ὑποθέσεως παρὰ τῶν λοιπῶν βασιλέων κινηθέντος ἐκπίπτει τῆς ἀρχῆς. δομέστικος δὲ ἀντικαθίσταται ὁ πατρίκιος Πανθήριος, συγγενὴς τοῦ βασιλέως ὢν Ῥωμανοῦ. **77** Ἀπριλλίῳ δὲ μηνί, ἰνδικτιῶνος πρώτῃ, ἐπῆλθον πάλιν οἱ Τοῦρκοι μετὰ πλείστης δυνάμεως. ὁ δὲ πατρίκιος Θεοφάνης, ὁ παρακοιμώμενος, ἐξελθὼν σπονδὰς εἰρηνικὰς ἐποίησε μετ᾽ αὐτῶν ὁμήρους τῶν ἐμφανῶν ἀναλαβόμενος· ἐξ οὗ καὶ συνέβη ἐπὶ χρόνους ε' τὴν εἰρήνην διαφυλαχθῆναι. **78** δευτέρᾳ δὲ ἰνδικτιῶνι ὁ βασιλεὺς Ῥωμανὸς Πασχάλιον πρωτοσπαθάριον καὶ στρατηγὸν Λαγοβαρδίας πρὸς τὸν ῥῆγα Φραγγίας Οὔγωνα ἐξαπέστειλε, τὴν τοῦ αὐτοῦ θυγατέρα ἐπιζητῶν εἰς

---

§ 76: ca. a. 944 § 77: a. 943 § 78: a. 944

---

§ 77: cf. ps.-Sym. 748.1–4 § 78: cf. ps.-Sym. 748.5–12

---

TL G[m] H

---

**580** post ναυμαχία add. τούτοις H συνάπτεται : ἐγίνετο G **581** καὶ – ἀνήρ om. G **582** τῆς Κοίλης : τῆς κύλλης T : τῆς σκύλλης L **582–83** παραπεσόντες ἀκτῇ : περισωθέντες ἀκτῆι G : περιπεσόντες ἀκτῇ m : ἀκτὶ περιπεσώντες H **583** ὁ πατρίκιος om. G **584** λαμπρᾶς – τροπαίων : ὑποστρέψας λαμπρᾶς G **584–85** καὶ μεγαλοπρεπῶς om. G **585** ἐπεὶ δὲ (sic m) : ἐπειδὴ δὲ T L : ἐπὶ δὲ καὶ H **586** post Ἰωάννης add. ὁ G τις om. H **586–87** καὶ – ῥωμαϊκὰ om. G **587** τὰ om. H (quod exhib. m) : non adhib. G **588** ἐπόρθησε : ἐνέπρισε H **589–92** ἠβουλήθη – ἀρχῆς om. G **589** ῥωμανὸς βασιλεὺς L ἔγγονον (sic m) : ἔκγονον T L : ἔγγονα H : non adhib. G **590** τοῦ om. L (etiam om. singula mss. e m) : non adhib. G υἱοῦ (sic m) : γαμβροῦ H : non adhib. G τὴν τούτου (sic m) : τούτου τὴν H : non adhib. G **591–92** παρὰ – κινηθέντος (sic m) : κινηθέντος παρὰ τῶν λοιπῶν βασιλέων H : non adhib. G **592** δὲ : τε H ὁ om. H **593** τοῦ – Ῥωμανοῦ : ὢν ῥωμανοῦ βασιλέως H **593–94** Ἀπριλλίῳ – πρώτῃ (α$^{is}$ H) : ἰνδικτιῶνι δὲ πρώτῃ ἀπριλλίῳ μηνί T L : ἰν$^{\delta}$ α ἀπριλλίῳ μηνί G m **596–97** ὁμήρους – ἐπὶ om. G **597** ε' : ἱκανοὺς H **598** δὲ om. G ἰνδίκτω H Πασχάλιον om. H **599** Λαγοβαρδίας (fort. scrib. Λαγγοβαρδίας : G per comp. : Λαγοβάρδων Bekker) : λαγουβαρδίας T : λαγγουβαρδίας L : λογγιβαρδίας m : λαγωβαρδίας H **600** Οὔγωνα : οὔγωνα T : οὔγγ- G m : οὔκωνα H τοῦ αὐτοῦ : αὐτοῦ L m : ἑαυτοῦ H θυγατέραν H

[redacted]

# THEOPHANES CONTINUATUS,

## IOANNES CAMENIATA, SYMEON MAGISTER,

## GEORGIUS MONACHUS

EX RECOGNITIONE

## IMMANUELIS BEKKERI.

BONNAE

IMPENSIS ED. WEBERI

MDCCCXXXVIII.

τῶν ὄντων ἐπὶ γῆς μηδέπω φανῇ. ἀλλ᾽ ὅσα μὲν καὶ ἄλλα κατὰ πάντων ἱερέων ἐνεανιεύσατο, φυλακαῖς τε καὶ ὑπερορίαις καὶ ποιναῖς ὠμοτάταις ὁσημέραι παραδιδούς, ἵνα τῷ Φωτίῳ συγκοινωνήσωσι, βίβλοι τε πολλαὶ καὶ ὁ πᾶς οὐκ ἐπιλίποι χρόνος ἐκτραγῳδῶν.

33. Ἐντεῦθεν γοῦν τὰ μὲν τῶν Ῥωμαίων ἡ τῶν Ῥῶς ἐκά-
P 122 κου ἐπιδρομή (ἔθνος δὲ οὗτοι Σκυθικὸν ἀνήμερόν τε καὶ ἄγροικον), τόν τε Πόντον αὐτόν, οὐ μὴν καὶ τὸν Εὔξεινον, κατεπίμπρα καὶ αὐτὴν τὴν πόλιν περιεστοίχιζεν, τηνικαῦτα τοῦ Μιχαὴλ κατὰ Ἰσμαηλιτῶν ἐκστρατεύοντος. πλὴν ἀλλ᾽ ἐκεῖνοι μὲν τότε θείας ἐμφορηθέντες ὀργῆς, Φωτίου τὸ θεῖον ἐξιλεωσαμένου τοῦ τῆς ἐκκλησίας τοὺς οἴακας ἔχοντος, οἴκαδε ἐκπεπόρευντο· καὶ μετ᾽ οὐ πολὺ πάλιν τὴν βασιλεύουσαν πρεσβεία αὐτῶν κατελάμβανεν, τοῦ θείου βαπτίσματος ἐν μετοχῇ γενέσθαι αὐτοὺς λιτανεύουσα, ὃ καὶ γέγονεν.

B 34. Τὰ μὲν οὖν ἡ τούτων ἐκάκου ἐπιδρομή· τὰ δὲ ὁ τῆς Κρήτης στόλος ἀναγόμενος, ὡς κουμβαρίων ἄχρι εἴκοσι, ἑπτὰ γαλέας καί τινας σατούρας μεθ᾽ ἑαυτοῦ ἐπαγόμενος, ἐλῄζετό τε καὶ κατεδουλαγώγει, νῦν μὲν τὰς Κυκλάδας νήσους περινοστῶν, νῦν δὲ ἄχρι Προικοννήσου τὴν παράλιον ἅπασαν. τὰ δὲ οἱ συνεχεῖς τῶν σεισμῶν ἐλυμαίνοντό τε καὶ πρὸς τοὔδαφος ἔβαλλον, νῦν μὲν καθ᾽ ἣν ἡ τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν ἀνάληψις ἑορτάζεται, τὸ πρὸς νότον τρίτον τοῦ Ἑξακιονίου πρὸς γῆν ἐδαφίζοντες, ναούς

8 μὴν καὶ] μὴν ἀλλὰ καὶ?

cerdotes miscentes, cui similis nulla unquam in terra exstiterit. quae vero quantaque alia Bardas adversus sacerdotum omnem coetum temere ausus sit, quos quotidie carceris maceratione exsiliisque ac poenis saevissimis, ut communione Photio iungerentur, addiceret, et libri complures et omnis posteritas tragice deflere nunquam desinet.

33. Exinde factum ut Rossi (Scythica illa gens immitis ac fera) Romanos agros vastarent ipsumque Pontum (haud sane etiam Euxinum) igni desolarent, ac quasi indagine regiam ipsam urbem (Michaele in expeditione adversus Ismaelitas occupato) cingerent. verum hi quidem abunde dei ira exsaturati, Photio, qui ad ecclesiae gubernacula sedebat, deum exorante urbique propitium reddente domum rediere; nec multo post legatis in urbem missis divinum efflagitantes baptismum, etiam impetravere.

34. Partim itaque haec Rossorum vastabat incursio; partim Cretensium advecta classis, ad viginti lintres (cymbaria vocant) galeas septem ac onerarias quasdam adducens, depraedabatur infestabatque, modo quidem Cycladas insulas, modo maritimam omnem regionem ad Proeconnesum usque pervagans: partim denique continui terrae motus labefactabant et solo tenus diruebant. horum unus, quo die domini ac salvatoris nostri in caelos recepti solennis memoria agitur, Exacionii tertiam

# IOANNIS SCYLITZAE
# SYNOPSIS HISTORIARUM

EDITIO PRINCEPS

RECENSUIT
IOANNES THURN

APUD WALTER DE GRUYTER ET SOCIOS
BEROLINI ET NOVI EBORACI MCMLXXIII

ἐν τῷ τῶν θείων ἀποστόλων τεμένει συνέδριον ἠθροικότες δεδημοσιευμένῃ καθαιρέσει καθυποβάλλουσι τὸν Ἰγνάτιον, τῆς ἐξορίας μεταπεμψάμενοι. ταῦτα μὲν τὰ τῆς φιλοπρωτείας τοῦ Βάρδα νεανιεύματα.

**18.** Τὰ δὲ ἐντὸς Εὐξείνου καὶ πᾶσαν τὴν αὐτοῦ παραλίαν ὁ τῶν Ῥῶς ἐπόρθει καὶ κατέτρεχε στόλος (ἔθνος δὲ οἱ Ῥῶς Σκυθικόν, περὶ τὸν ἀρκτῷον Ταῦρον κατῳκημένον, ἀνήμερόν τε καὶ ἄγριον), καὶ αὐτῇ δὲ τῇ βασιλίδι δεινὸν ἐπέσειε κίνδυνον. οἳ μετ' οὐ πολὺ θείας πειραθέντες ὀργῆς οἴκαδε ὑπενόστησαν, πρεσβεία τε αὐτῶν τὴν βασιλίδα καταλαμβάνει τοῦ θείου μεταλαχεῖν βαπτίσματος λιτανεύουσα, ὃ καὶ γέγονε· καὶ τῆς Κρήτης δὲ στόλος ἄλλος νῦν μὲν τὰς Κυκλάδας ἐδῄου, νῦν δὲ ἄχρι Προικοννήσου τὴν παράλιον ἅπασαν. ἐγένοντο δὲ καὶ κλόνοι γῆς φρικωδέστατοι. εἷς δὲ ὁ μέγιστος, καθ' ἣν ἡμέραν ἡ τοῦ κυρίου ἀνάληψις ἑορτάζεται, τὴν γῆν κατασείσας τό τε κατὰ τὸ Ἑξακιόνιον πρὸς γῆν ἠδάφισε τεῖχος καὶ ναοὺς εὐπρεπεῖς καὶ οἴκους λαμπροὺς καὶ τὴν κατὰ τὴν Χρυσῆν πύλην τῆς πόλεως ἱδρυμένην Νίκην καὶ τὰς ἐν τῷ Δευτέρῳ κατὰ τὴν ἁγίαν Ἄνναν παγίας ἱσταμένας κατέσεισεν, ἧς τὴν πτῶσιν ὁ φιλόσοφος Λέων προσημαίνειν ἀνεῖπε φανερῶς τὴν τοῦ μετὰ βασιλέα δυνάστου καταστροφήν. ἐγένοντο δὲ καὶ ποταμῶν ἀφάνειαι καὶ πηγῶν, καὶ ἄλλ' ἄττα παθήματα κατὰ πᾶσαν χώραν. ἃ πάντα κατενωτισάμενος ὁ βασιλεὺς ὅλος εἴχετο | τῶν ἱππικῶν ἀγώνων κατὰ τὸν ἐν τῷ Στενῷ ἀνεγηγερμένον ναὸν τοῦ ἁγίου μάρτυρος Μάμαντος.

**19.** Ἄξιον δὲ καὶ τόδε μὴ παραλιπεῖν τὸ λόγιον παραστατικὸν τυγχάνον τῆς τε τουτουῒ τοῦ βασιλέως ἀβελτηρίας καὶ τῆς τῶν προηγησαμένων ἐπιμελείας. τὰς τῶν Σαρακηνῶν κατὰ τῆς τῶν Ῥωμαίων χώρας ἐπιδρομὰς οἱ πάλαι βασιλεῖς διαδήλους ποιεῖν ἐθέλοντες, ἵνα μὴ αἰφνίδιοι εἰσπίπτοντες ἐκπορθῶσι τὰς χώρας, ἐν ταῖς κώμαις καὶ τοῖς

**52** die 18. mens. Iun. a. 860 **64** vere a. 860

cap. 18: Theoph. Cont. 196, 6–197, 10; Zon. III, 404, 6–405, 1 cap. 19: Theoph. Cont. 197, 10–199, 11; Zon. III, 405, 1–406, 3; Glyc. 542, 8–543, 9

ACEVBMN FH **41** τῶν — ἀποστόλων: τῶν ἀποστόλων θείῳ B **42** ὑπέβαλον B **43** τοῦ ACEMN: τῷ VBH **44** δ' ACE **45** Ῥῶς bis ACE et Theoph. Cont. 196, 6 **46** Ταῦρον: τόπον B κατῳκημένον ACEMN: κατῳκισμένον VB δὲ om. VB **47** καὶ ante θείας add. C, τῆς add. VB (sed cf. Theoph. Cont. 196, 10) **48** ἀπενόστησαν B **49** τοῦ θείου post μεταλ. VB (sed cf. Theoph. Cont. 196, 13) λιτανεύουσαν B **50** ἄλλος om. B **51** ἄχρι om. A **53** τὸ ante κατὰ add. E Ἑξωκιόνιον B **55** πύλην VBMN: νίκην AC: om. E τὰς: τὴν B **56** παγίας ἱσταμένας: στήλην ἱσταμένην B **57** προσημ. post φαν. B τοῦ: αὐτοῦ V μετὰ om. E βασιλέως M **58** δυνάστην V ἀφάνεια M **59** καὶ ἄλλ' ἄττα: ἄλλα τε B κατανωτισάμενος AE **60** ὅλος ACEM Theoph. Cont. 197, 8: ὅλως VBNF **61** μάρτυρος ACEMN: μεγαλομάρτυρος B: om. V **63** τουτουῒ τοῦ ACEMN: τούτου τε τοῦ V: τοῦ τότε B **64** τῶν om. AEB Ῥωμαϊκῶν A **65** χωρῶν A **66** αἰφνίδιον B ἐκπορθῶσι ACEMN: ἐκπολιορκῶσι VB χώρας: κώμας A κώμαις: χώραις A